ΔΙΟΝΥΣΙΑΚΩΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

Ῥείη δ' ὠκυπέδιλος, ὀρεσσαύλῳ παρὰ φάτνῃ
αὐχένα λαχνήεντα περισφίγξασα λεόντων,
σύνδρομον ἠώρησεν ὑπηνέμιον σφυρὸν αὔραις
ἠερίους κενεῶνας ἐρετμώσασα πεδίλῳ·
θεσπεσίας δὲ φάλαγγας ἀολλίζουσα Λυαίῳ
ὡς πτερὸν ἠὲ νόημα διέστιχεν ἕδρανα κόσμου
εἰς Νότον, εἰς Βορέην, εἰς Ἕσπερον, εἰς κλίσιν Ἠοῦς·
καὶ δρυσὶ καὶ ποταμοῖσι μίαν ξυνώσατο φωνὴν
Νηιάδας καλέουσα καὶ Ἀδρυάδας στίχας ὕλης.
δαιμονίη δ' ἀίουσα γονὴ Κυβεληίδος ἠχοῦς,
πάντοθεν ἠγερέθοντο. καὶ ὑψόθεν εἰς χθόνα Λυδῶν
ἀπλανὲς ἴχνος ἄγουσα μετάρσιος ἵκετο Ῥείη·
καὶ νυχίην παλίνορσος ἐκούφισε μύστιδα πεύκην
Μυγδόνι θερμαίνουσα τὸ δεύτερον ἠέρα πυρσῷ.
ἀλλὰ μετὰ βροτέην προμάχων ἡρωίδα φύτλην
καὶ στρατιὴν ζαθέην με διδάξατε, Φοιβάδες αὖραι.

14, 3 *ἠώρησεν PFMfl.* — 4 post 5 posuit *k.* — *ἐρϋτμώσασα M*; *ἐρετμώσουσα g*m.* — 9 *καλέουσα Lf*Ω*; *κλέουσα F*; *κλαίουσα f.* — *Ἀδρυάδας g*k*; *ἀγριάδας LΩ* (cf. autem Lch[1] 105); *ἀγριάδος* Koch[1] 174 ex 211. 17, 87. 27, 180 ('quod si probatur, ante id vocabulum duo hemistichia exciderunt' *k**). — 10 *γονὴ L* pc., *gmk*; *γονῆ L* ac.; *γὸν* sic *P*; *γονη* (velut nom. propr.) *FM*; *γόνη fl.* — 13 *νυχίην g*mk*; *νυχίη LΩ.* — 14 *Μύγδονι gk*; *μυγδόνα LΩ.* — (*Μύγδονιῳ, θερμοῦσα m*) *Μυγδονίῳ θερμῶσα m*.* — *φερμαίνουσα M.* — 15 *βροτέην Lf*Ω*; *βροτίην PFMf*; *βρομίην* anon. Villois. — *ἡ ῥώϊδα F*; *ἡρώϊδα Mfl.* — 16 'debebat *καὶ στρατὸν ἀθανάτων μοι ἐμαὶ θεαὶ εἴπατε Μοῦσαι*' Cun. — *με* om. *l* (add. *c*). — *φοιβάδες*, sed *β* pc. *L.* — *αὖραι*

ΔΙΟΝΥΣΙΑΚΩΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

Ῥείη δ' ὠκυπέδιλος, ὀρεσσαύλῳ παρὰ φάτνῃ
αὐχένα λαχνήεντα περισφίγξασα λεόντων,
σύνδρομον ἠώρησεν ὑπηνέμιον σφυρὸν αὔραις
ἠερίους κενεῶνας ἐρετμώσασα πεδίλῳ·
θεσπεσίας δὲ φάλαγγας ἀολλίζουσα Λυαίῳ
ὡς πτερὸν ἠὲ νόημα διέστιχεν ἕδρανα κόσμου
εἰς Νότον, εἰς Βορέην, εἰς Ἕσπερον, εἰς κλίσιν Ἠοῦς·
καὶ δρυσὶ καὶ ποταμοῖσι μίαν ξυνώσατο φωνὴν
Νηιάδας καλέουσα καὶ Ἀδρυάδας στίχας ὕλης.
δαιμονίη δ' ἀίουσα γονὴ Κυβεληίδος ἠχοῦς,
πάντοθεν ἠγερέθοντο. καὶ ὑψόθεν εἰς χθόνα Λυδῶν
ἀπλανὲς ἴχνος ἄγουσα μετάρσιος ἵκετο Ῥείη·
καὶ νυχίην παλίνορσος ἐκούφισε μύστιδα πεύκην
Μυγδόνι θερμαίνουσα τὸ δεύτερον ἠέρα πυρσῷ.
  ἀλλὰ μετὰ βροτέην προμάχων ἡρωίδα φύτλην
καὶ στρατιὴν ζαθέην με διδάξατε, Φοιβάδες αὖραι.

14, 3 ἠώρησεν *PFMfl*. — 4 post 5 posuit *k*. — ἐρϋτμώσασα *M*; ἐρετμώσσουσα *g*m*. — 9 καλέουσα *Lf*Ω*; κλέουσα *F*; κλαίουσα *f*. — Ἀδρυάδας *g*k*; ἀγριάδας *LΩ* (cf. autem Lch[1] 105); ἀγριάδος Koch[1] 174 ex 211. 17, 87. 27, 180 ('quod si probatur, ante id vocabulum duo hemistichia exciderunt' *k**). — 10 γονὴ *L* pc., *gmk*; γονῆ *L* ac.; γὸν sic *P*; γονη (velut nom. propr.) *FM*; γόνη *fl*. — 13 νυχίην *g*mk*; νυχίη *LΩ*. — 14 Μύγδονι *gk*; μυγδόνα *LΩ*. — (Μύγδονιῳ, θερμοῦσα *m*) Μυγδονίῳ θερμῶσα *m**. — φερμαίνουσα *M*. — 15 βροτέην *Lf*Ω*; βροτίην *PFMf*; βρομίην anon. Villois. — ἡ ῥώϊδα *F*; ἡρώϊδα *Mfl*. — 16 'debebat καὶ στρατὸν ἀθανάτων μοι ἐμαὶ θεαὶ εἴπατε Μοῦσαι' Cun. — με om. *l* (add. *c*). — φοιβάδες, sed β pc. *L*. — αὖραι

πρῶτα μὲν ἐκ Λήμνοιο πυριγλώχινος ἐρίπνης
φήμη ἀελλήεσσα Σάμου παρὰ μύστιδι πεύκῃ
υἱέας Ἡφαίστοιο δύω θώρηξε Καβείρους,
οὔνομα μητρὸς ἔχοντας ὁμόγνιον, οὓς πάρος ἄμφω
οὐρανίῳ χαλκῆι τέκε Θρήισσα Καβειρώ·
Ἄλκων Εὐρυμέδων τε, δαήμονες ἐσχαρεῶνος.
καὶ βλοσυροὶ Κρήτηθεν ἀολλίζοντο μαχηταὶ
Δάκτυλοι Ἰδαῖοι, κραναῆς ναετῆρες ἐρίπνης,
Γηγενέες Κορύβαντες ὁμήλυδες, ὧν ποτε Ῥείη
ἐκ χθονὸς αὐτοτέλεστος ἀνεβλάστησε γενέθλη·
οἵ βρέφος ἀρτιλόχευτον ἀεξιτόκῳ παρὰ πέτρῃ
Ζῆνα φερεσσακέεσσιν ἐμιτρώσαντο χορείαις,
κῶμον ἀνακρούοντες ὀρίκτυπον ἠπεροπῆα,
ἠέρα βακχεύοντες· ἀρασσομένοιο δὲ χαλκοῦ
ἀγχινεφὴς Κρονίοισιν ἐπέβρεμεν οὔασιν ἠχὼ
κουροσύνην Κρονίωνος ὑποκλέπτουσα βοείαις·
καὶ πρόμος ἡγεμόνευε χοροπλεκέων Κορυβάντων
Πύρριχος Ἰδαῖός τε σακέσπαλος, οἷς ἅμα βαίνων
Κνώσσιος αἰόλα φῦλα παρώνυμος ὥπλισε Κύρβας.
καὶ φθονεροὶ Τελχῖνες ἐπήλυδες εἰς μόθον Ἰνδῶν
ἐκ βυθίου κενεῶνος ἀολλίζοντο θαλάσσης·

---

anon. Villois., *g** (cf. 41, 224); *ὧραι LΩ*; *ᾠδαί* Scaliger, *g* (v. autem Lehrs[1] 269); *ὀμφαί g*k* (Rigler[5] 7). — 21 *Καβειρώ gmk*; *καβείρω LF*; *καβείρῳ Pfl*; *καβείρους M*; *Καβείρα* Rhodom. — 22 'versum hunc aliunde adscriptum esse, constructio turbata ostendit' *g**; 'verum nomina in indice omitti non poterant; nisi igitur post colon nominativos absolutos inferri statuas, lacunam hic quoque subesse putaveris' *k**. — *ἄλκων Ff*. — *εὐρυμέδον F*. — *δαήμονες Lf*Ω* (Lobeck[3] 1250); *δαίμονες PFM*; *δαῖμονες f*. — 24 *κραναῆς*, sed *ῇ* pc. *L*. — 25 *ποτὲ gm*. — *ῥείῃ Lg*k*; *ῥείη PΩ*. — 26 *αὐτοτέλεστος* et *γενέθλη g*k*; *αὐτοτέλεστον* et *γενέθλην LΩ*. — 32 *ὑποκλαίπτουσα F*. — 34 *Ἰδαῖός τε* suspectum Hilbergio 129, defend. Tiedke[8] 48 coll. Hom. E 11 *Φηγεὺς Ἰδαῖός τε*. — *σακέσπαλος gmk*; *σακεσπάλος LΩ*. — 36 *εἰς k*; *ἐς LΩ*.

καὶ δολιχῇ παλάμῃ δονέων περιμήκετον αἰχμὴν
ἦλθε Λύκος, καὶ Σκέλμις ἐφέσπετο Δαμναμενῆι
πάτριον ἰθύνων Ποσιδήιον ἅρμα θαλάσσης,
Τληπολέμου μετὰ γαῖαν ἀλιπλανέες μετανάσται,
δαίμονες ὑγρονόμοι μανιώδεες, οὓς πάρος αὐτοὶ
πατρῴης ἀέκοντας ἀποτμήξαντες ἀρούρης·
Θρῖναξ σὺν Μακαρῆι καὶ ἀγλαὸς ἤλασεν Αὔγης,
υἱέες Ἠελίοιο· διωκόμενοι δὲ τιθήνης
χερσὶ βαρυζήλοισιν ἀρυόμενοι Στυγὸς ὕδωρ
ἄσπορον εὐκάρποιο Ῥόδου ποίησαν ἀλωήν,
ὕδασι Ταρταρίοισι περιρραίνοντες ἀρούρας.
τοῖς ἔπι Κενταύρων διφυὴς πρηεῖα γενέθλη·
ἵππιον εἶδος ἔχοντι Φόλῳ συνομάρτεε Χείρων
ἀλλοφυής, ἀδάμαστος, ἔχων ἀχάλινον ὑπήνην.
Κυκλώπων δὲ φάλαγγες ἐπέρρεον· ὧν ἐνὶ χάρμῃ
χερσὶν ἀθωρήκτοισιν ἀκοντίζοντο κολῶναι
ἔγχεα πετρήεντα, καὶ ἀσπίδες ἦσαν ἐρίπναι,
καὶ σκοπιὴ λοφόεσσα χαραδραίη πέλε πήληξ,
καὶ Σικελοὶ σπινθῆρες ἔσαν φλογόεντες ὀιστοί·
καὶ σέλας αἰθύσσοντες ἐθήμονος ἐσχαρεῶνος

---

39 *λύκος Lf*Ω*; *λίκος Ffl.* — *Σκέλμις f*lk*; *κέλμις LΩ* (Lobeck[3] 1191; at v. 21, 197. 23, 156. al.). — 42 *ὑγρονόμοι* Lobeck l. l. (Koehler 46), *k*; *ἀγρονόμοι LΩ.* — 43 *πατρώης Ffl.* — 44 *Θρῖναξ* Lobeck l. l.; *θρίναξ LΩ.* — *ἀγλαός*, sed *λ* et *ὸς* pc. *L, f*Ω*; *ἀγλαὸν L* ac., *P* pc., *FMf.* — *ἤλασεν LΩ* (Lobeck l. l.); *ἤλασαν* Cun., *k.* — 45 *υἱέαις F.* — *Ἠελίοιο· διωκόμενοι δὲ gmk* (Lobeck l. l.); *ἠελίοιο διωκομένοιο LΩ.* — *χολωόμενοι δὲ τιθήνῃ* Cun. — 47 *ῥόδου LΩ*; *πέδου* Cun. — *ἀλωήν P.* — 49 *ἔπι Lf*gmk*; *ἐπὶ PΩ.* — *κενταῦρον Ffl.* — *πρηεῖα LP*; *πραεῖ M*; *πραεὶ Ffl*; *πραεῖα f**; *παράμειβε g* (Moser[2] 706) *mk* ('suspectum, sed melius non succurrit; etiam brevitas suspecta et versus sequentis asyndeton; fortasse hic quoque quaedam exciderunt' *k*). — 50 *Φόλῳ* Cun., *gmk*; *φίλῳ* (-ω) *LΩ.* — 51 *ἀλλοφυὴς LΩ*; 'exspectes contrarium *ἰσοφυής*. mirum, nisi *πωλοφυὴς* dedit' *g**. — 52 *κυλώπων L*[1] (cr. *L*[2]). — *ὦ L*[1] (cr. *L*[2]). — 53 fol. 57[v] *L*, 49[v] *P.*

πυρσοφόροις παλάμῃσιν ἐθωρήσσοντο μαχηταί,
Βρόντης τε Στερόπης τε καὶ Εὐρύαλος καὶ Ἐλατρεὺς
Ἄργης τε Τράχιός τε καὶ αὐχήεις Ἁλιμήδης.
ἀλλὰ τόσος καὶ τοῖος ἐλείπετο μοῦνος Ἐννοῦς
ἀγχινεφὴς Πολύφημος, ἀπόσπορος ἐννοσιγαίου,
ὅττί μιν ὑγροκέλευθος ἐρήτυεν αὐτόθι μίμνειν
ἄλλος Ἔρως πολέμοιο φιλαίτερος· εἰσορόων γὰρ
ἡμιφανῆ Γαλάτειαν ἐπέκτυπε γείτονι πόντῳ,
νυμφιδίῃ σύριγγι χέων φιλοπάρθενον ἠχώ.
καὶ σκοπέλων ναετῆρες ἀπ' αὐτορόφοιο μελάθρου,
οὔνομα Πανὸς ἔχοντες, ἐρημονόμου γενετῆρος,
Πᾶνες ἐθωρήχθησαν ὁμήλυδες, ὧν ἐπὶ μορφῇ
ἀνδρομέῃ κεκέραστο δασύτριχος αἰγὸς ὀπωπή·
καὶ νόθον εἶδος ἔχοντες ἐυκραίροιο καρήνου
δώδεκα Πᾶνες ἔσαν κεραελκέες, ἀρχεγόνου δὲ
Πανὸς ἑνὸς γεγάασιν ὀρεσσαύλοιο τοκῆος.
τὸν μὲν ἐφημίξαντο Κελαινέα μάρτυρι μορφῇ,
τὸν δὲ φυῆς Ἀργεννὸν ὁμώνυμον· Αἰγικόρῳ δὲ
ἄρμενον οὔνομα θῆκαν, ἐπεὶ νομίῃ παρὰ ποίμνῃ
αἰγείων κεκόρητο περιθλίβων γάλα μαζῶν·
ἄλλος δ' Ἠυγένειος ἀκούετο θεσπέσιος Πὰν

---

59 βρόντην *L* ac. — 60 Ἄργης Ruhnken[2] 143 (coll. Callimach. h. Dian. 68 Ἄργην ἢ Στερόπην), *gmk*; αἴγης *LΩ*. — ἁλιμήδης *FMf*. — 63 ὅττι *Ω*. — ἐρύτυεν *Ff* (cr. *f**). — 64 πολέμοιο *gmk*; πτολέμοιο *LΩ*. — 67 σκοπέλω *F* ac. — αὐτορόφοιο *LΩ* (Scaliger, Wakefield[4] 48, Iacobs ad Anth. XVI 258, 3); αὐτοφόροιο *PFMfl*. — 69 πάνες *Ffl*. — θωρήχθησαν *l*. — 70 ἀνδρομέη *PFMfl*. — 71 εὔκραίροιο *Lf***Ω*; ἐυκαίροιο *F*; εὔ- *f*. — 72 πᾶνες *FΩ*; πάντες *LPM*. — κερεαλκέες *gm*. — 74 $\bar{α}$, 75 $\bar{β}$ $\bar{γ}$, 78 $\bar{δ}$, 80 $\bar{ε}$, 81 $\bar{ϛ}$, 82 $\bar{ζ}$ $\bar{η}$, 86 $\bar{θ}$, 91 $\bar{ι}$, 92 $\overline{ια}$, 94 ιβ adscr. *LP*, partim etiam *F*. — μὲν *L*. — μάρτυρι μορφῆ (-ῇ) *LΩ*; μάρτυρα μορφῆς Koechly[1] 408 (*k**); μάρτυρα μορφῇ *k*. — 75 τὸν δὲ *L*. — Αἰγικόρῳ *k* ([1] 408); αἰγοκέρῳ (-ω) *LΩ*; Αἰγοκόρῳ *gm*. — 76 ἄρμενον *Ω*

ἀμφιλαφῆ πλοκάμοισιν ἔχων λειμῶνα γενείου·
καὶ νομίῳ κεκόρυστο σὺν Ὠμηστῆρι Δαφοινεύς·
καὶ Φόβος ὡμάρτησε δασυκνήμιδι Φιλάμνῳ·
Ξάνθῳ Γλαῦκος ἵκανεν ὁμόστολος· ἀντιτύποις γὰρ
Γλαῦκος ἑοῖς μελέεσσιν ὁμόχροος ἔσκε θαλάσσῃ
γλαυκιόων, καὶ Ξάνθος ἔχων ξανθόχροα χαίτην
οὔνομα τοῖον ἔδεκτο κερασφόρος ἀστὸς ἐρίπνης·
καὶ θρασὺς Ἄργος ἵκανε φέρων χιονώδεα χαίτην.
τοῖσιν ἔσαν δύο Πᾶνες ὁμήλυδες, οὓς τέκεν Ἑρμῆς
κεκριμένῃ φιλότητι μιγεὶς διδυμάοσι Νύμφαις·
τὸν μὲν ὀρεστιάδος Σώσης μετανεύμενος εὐνὴν
μαντιπόλου σπέρμηνε θεηγόρον ἔμπλεον ὀμφῆς,
Ἀγρέα θηροφόνῳ μελέτῃ πεπυκασμένον ἄγρης·
τὸν δὲ νομαῖς ὀίων Νόμιον φίλον, ὁππότε Νύμφης
δέμνιον ἀγραύλοιο διέστιχε Πηνελοπείης,
ποιμενίῃ σύριγγι μεμηλότα. τοῖς ἅμα Φόρβας
ὠμηστὴς ἀκόρητος ὁμόστολον εἶχε πορείην..
  καὶ παλάμην νάρθηκι γέρων Σειληνὸς ἐρείσας
δισσοφυὴς κεκόρυστο κερασφόρος υἱὸς ἀρούρης,
τρισσοὺς παῖδας ἄγων θιασώδεας· εἰς ἐνοπὴν γὰρ

79 ἀμφιλαφῆ *gmk*; ἀμφιλαφὴς *LΩ*. — 80 νομίω, sed ν et μ pc. *L*; νομίων *PFMfl*; Νομίῳ Rhodom., *g* ('sed cf. 92' *k**). — Νεμέος, καὶ κορεστῷ *m*. — σὺν ὠμηστῆρι *L* ac., (Rhodom.) *gmk*; συνωμηστῆρι *L* pc., *PM*; συνῶ μυστῆρι *Ff*; σὺν ὠμυστῆρι *f*l*. — 81 Φόρος *m*. — 83 θαλάσσῃ scripsi; θαλάσσῃ *LPM*; θαλάσσης *FΩ*. — 84 γλαυκιόων καὶ Ξ. ἔχων Cun., Rhodom., *gmk*; γλαυκιόωντι ξ. ἑὼν *LΩ* (ἑὼν *F*). — 88 κεκριμένῃ *gmk*; κεκρυμένῃ *LΩ*. — 89 σώσης *L*; σῶσης *PFM*; σῶσας *fl*; Σωσοῦς *gmk* (Lobeck[6] 406; cf. autem Tiedke[1] 9. Scheindler[5] 73). — 90 μαντιπόλου Rhodom., *gmk*; μαντιπόλον *LΩ* (Herm.[1] 820). — σπέρμηνε. θεηγόρου Herm. l. l. — 91 θηροφόνῳ (-ω) *LΩ*; θηροφόνου Rhodom., *k*. — ἄγρης Rhodom., *gmk*; ἄγρη *LPFM*; ἄγρῃ *fl*. — 92 Νόμιον] v. Meineke[2] 158. — 93 πηνελοπείης *LΩ*; πηνελοπήης *Ffl*. — 95 ὠμηστὴς] v. Lehrs[1] 306. — 96 ἐρείσας *gmk*; ἐάσσας *LΩ* (ἐ- *F*). — 97 κερασφόρος Scaliger, *gmk*; σελασφόρος *LΩ*. — 98 θειασώδεας *L* ac.

Ἀστραῖος κεκόρυστο, Μάρων κίεν, ἕσπετο Ληνεύς,
χεῖρας ἐλαφρίζοντες ὀριπλανέος. γενετῆρος
γηροκόμοις ῥοπάλοισι· λιποσθενέων δὲ γερόντων
νωχελὲς ἀμπελόεντι δέμας κουφίζετο βάκτρῳ,
ὧν μάλα πουλυέτηρος ἔην χρόνος, ὧν ἄπο θερμὴ
πουλυγάμων Σατύρων διφυὴς ἀνέτελλε γενέθλη.
καὶ Σατύρους κερόεντας ἐκόσμεον ἡγεμονῆες
Ποιμένιος Θίασός τε καὶ Ὑψίκερως καὶ Ὀρέστης,
καὶ κεραῷ Φλεγραῖος ἐφωμάρτησε Ναπαίῳ·
ἦλθε Γέμων, κεκόρυστο Λύκων θρασύς· ἀκροπότῃ δὲ
Πετραίῳ γελόωντι φιλέψιος ἕσπετο Φηρεύς,
καὶ Λάμις οὐρεσίφοιτος ὁμόστολον εἶχε πορείην
Ληνοβίῳ, καὶ Σκιρτὸς ἐκώμασε σύνδρομος Οἴστρῳ,
σὺν δὲ Φερεσπόνδῳ Λύκος ἤιεν, ἠχέτα κῆρυξ,
καὶ Πρόνομος πραπίδεσσι κεκασμένος, οὓς τέκεν Ἑρμῆς
Ἰφθίμην κρυφίοισιν ὑποζεύξας ὑμεναίοις,
τήν ποτε Δῶρος ἔτικτε, Διὸς βλάστημα γενέθλης,

---

100 ἀριπλανέος *m*. — 103 πουλυέτηρος *L* ss. (cf. met. Θ 186); πουλυέλικτος *L* it., *PΩ*. — ἀπὸ *f*l*; μάλα Scaliger. — θερμὴ Cun., *gmk*; φερμὴ *LPM*; φερ̈˜ *F*; φερμῶ *f*; φερβοῦ *f*l*; φερνῆς vel φορμοῦ *f''*; φυρμοῦ Scaliger; φυρμῶν Rhodom. — 104 γενέθλη *Lf*Ω*; γενέθλης *Ff*. — 105 κερόεντας *g*mk*; κερόεντες *LΩ*. — 106 θιάσος *M*. — Ὑψίκερως *gmk*; ὑψίκορος *LΩ*. — Ὀρέστης *gmk*; ὀρίστας *LΩ*; Ὀρέστας Rhodom. — 107 κεραῷ (velut nom. propr.) *LPM*; κρυερῷ *m*. — φλεγραῖ *F*; φλέγραιος *Mfl*. — ἐφωμάρτησε Ναπαίῳ *gmk*; ἐφωμάρτησε ναπαῖος *LP*; ἐφωμάρτησεν ἀπαῖος *FMfl*. — 108 γέμων *LΩ*; Γίλων *g**; Νέμων *m*. — ἀκροπότῃ *LPm** (cf. 189. 19, 312. 29, 246); ἀκροπο^τ´ *F*; ἀκροπότη *M*; ἀκροπότης *fΩ*. — 109 πετραίω *LF*; Πισαίῳ *m**. — φιλέψιος *LΩ*; φιλέσθιος *m**. — ἕσπετο *M*. — φηρεύς *LΩ*; Θηρεὺς *m**. — 110 λάμις *LΩ* (Lehrs Arist.[3] 268); Δρύμος *m*; 'Χάλις?' *k** coll. 15, 25. — 111 Ληνοβάτῳ *m*. — Σκιρτὸς] v. Lobeck[8] 1311. — οἴστρῳ *Mg*Ω*; -ω *L*; ἴστρω *F*; -ῳ *flg*. — 112 λύκος *LΩ*; Λάκος *g*k*; Γλύκος *g**; Δίκος *m*; Δάλος Koechly[1] 408. — κῆρυξ *k*; κήρυξ *LΩ*. — 113 πρόνομος *LΩ*; Πρόνοος *k* ([1] 408): v. Koehler 48.

ῥίζα γονῆς Ἕλληνος, ἀπ' ἀρχεγόνοιο δὲ Δώρου
Δωρίδος ἐβλάστησεν Ἀχαιικὸν αἷμα γενέθλης·
τοῖσι γέρας καὶ σκῆπτρον ἐπέτρεπεν Εἰραφιώτης
οὐρανίου κήρυκος, ἀεξινόοιο τοκῆος.
αἰεὶ μὲν μεθύουσα φιλακρήτοισι κυπέλλοις
πᾶσα γονὴ Σατύρων θρασυκάρδιος, ἐν δὲ κυδοιμῷ
μοῦνον ἀπειλητῆρες ἀεὶ φεύγοντες Ἐνυώ,
νόσφι μόθοιο λέοντες, ἐνὶ πτολέμοις δὲ λαγωοί,
ἴδμονες ὀρχηστῆρες, ἐπιστάμενοι πλέον ἄλλων
οἰνοδόκου μέθυ λαρὸν ἀπὸ κρητῆρος ἀφύσσειν·
τῶν ὀλίγοι γεγάασι μαχήμονες, οὓς θρασὺς Ἄρης
παντοίην ἐδίδαξε μεληδόνα δηιοτῆτος,
κοσμῆσαι δὲ φάλαγγα· κορυσσομένου δὲ Λυαίου
οἱ μὲν ἀδεψήτοισι δέμας κρύψαντο βοείαις,
οἱ δὲ δοραῖς λασίῃσιν ἐκαρτύνοντο λεόντων,
ἄλλοι πορδαλίων βλοσυρὰς δύσαντο καλύπτρας,
οἱ δὲ τανυπτόρθοισιν ἐθωρήσσοντο κορύμβοις,
οἱ δὲ τανυκραίρων ἐλάφων ἀντίρροπον ἄστρων
ποικίλον ἐν στέρνοισιν ἀνεζώννυντο χιτῶνα·
τοῖς μὲν ἐπὶ κροτάφοις διδυμάονες ἀμφὶ μετώπῳ
ὀξυτενεῖς γλωχῖνες ἐμηκύνοντο κεραίης,

117 ἐβλάστησεν *Lf*Ω*; βλάστησεν *PFMf*. — ἀχαιϊκὸν *LΩ*; ἀχαϊκὸν *Fflgm*. — 119 fol. 58r *L*, 50r *P*. — 121 κυδοιμῷ scripsi; κυδοιμῷ *L*; κυδοιμοῦς *PM*; κυδοιμοῖς *FΩ*. — 122 μοῦνον ss. *LP*, cum ἢ *OW*; δειλοὶ it. *LPMOVWk* ([1] 408); om. in lacuna *Ff* (v. Lch[4] 281); πάντες *f*lg*; ἦσαν Rhodom.; (αἰεὶ *m*) αἰὲν *m**. — 125 ἀφύσσειν *Lf*Ω*; ἀφύσσον *f*. — 128 κοσμῆσαι δὲ *LΩ* (v. Lehrs[1] 295. Tiedke[7] 413); κοσμῆσαί τε *gm*; κόσμησαν δὲ *k*. — 129 οἳ *gmk*; item in sequentibus. — μὲν *L*. — 130 δὲ *L*; item 132. 133. — βλοσυρὰς *LΩ* (Rhodom.); βλοσυρᾶς *Ffl*. — 132 τανυπτόρθοισιν *Lf*Ω*; τανυπτόρθησιν *F*; -ῃσιν *f*. — ἐθωρύσσοντο *Ffl* (cr. *f**). — κορύμβοις *k* ([1] 408); κορύναις *LΩ*. — 134 ἀνεζώννυντο *Ff* (cr. *f**). — 136 ἐμηκύνοντο *gmk*; ἐμηκύναντο *LΩ*.

ψεδνὴ δ' ὀκριόεντι καρήατι φύετο χαίτη
ἀκροφανὴς σκολιοῖσιν ἐπ' ὄμμασιν, οὔατα δ' ἄμφω
νισσομένων πτερόεντες ἀνερρίπιζον ἀῆται
ἰθυτενῆ, λασίοισιν ἐπικτυπέοντα γενείοις
ἐκταδόν, ἱππείη δὲ τιταινομένη διὰ νώτου
ὄρθιος ἀμφιέλικτος ἀπ' ἰξύος ἔρρεεν οὐρή.
ἀλλοφυὴς δ' ἑτέρη Κενταυριὰς ἵκετο φύτλη,
Φηρῶν εὐκεράων λάσιον γένος, οἷς πόρεν Ἥρη
ἀνδροφυὲς δέμας ἄλλο κερασφόρον· ὑγρογόνων γὰρ
Νηιάδων ποτὲ παῖδες ἔσαν βροτοειδέι μορφῇ,
ἃς Ὑάδας καλέουσι, Λάμου ποταμηίδα φύτλην,
καὶ Διὸς εὐώδινα τιθηνήσαντο γενέθλην,
Βάκχον ἔτι πνείοντα πολυρραφέος τοκετοῖο,
παιδοκόμοι ῥυτῆρες ἀθηήτου Διονύσου,
οὐ ξένον εἶδος ἔχοντες· ἐνὶ σκοτίῳ δὲ μελάθρῳ
πολλάκι πηχύναντο κεκυφότι κοῦρον ἀγοστῷ,
αἰθέρα παππάζοντα, Διὸς πατρώιον ἕδρην,
εἰσέτι κουρίζοντα, σοφὸν βρέφος. ἀρτιτόκῳ δὲ
πῇ μὲν ἔην ἐρίφῳ πανομοίιος, ἔνδοθι μάνδρης

---

137 *ψεδνή L.* — *'δὲ κρυόεντι?' g**. — *ὀκριόεντι* (*M* ac. ?) Cun., *gmk*; *ὀκρυόεντι LPMl* (cf. 393); *ὁ κρυόεντι Ff*. — 138 *σκολιοῖσιν ἐπ' ὄμμασιν* scripsi; *σκολιοῖσιν* (-*σι M*) *ἐπ' ἀνδράσιν LΩ*; *σκολιῇσιν ἐπ' ὀφρύσιν gmk*. — 139 *νισομένων LΩ*; *νεισσομένων gmk*. — 141 *ἱππείη Lf*Ω*; *ἱππείην Ff*. — 142 *ἀπ' LPg** (coll. 184) *k*; *ἐπ' FΩ*. — 143 *ἀλλοφυὴς g** ('etsi quodammodo vs. 145 sic obstat', quem mutavi propter *ἄλλο*): *ἀνδροφυής L*; -*ὴς PΩ*. — *δ'* om. *f**. — *ἑτέρη κενταυριὰς M*; *ἑτέρηκεν ταυριὰς Ff* (cr. *f**). — 145 *ἀνδροφυὲς* scripsi; *ἀλλοφυῆ LΩ* (cf. ad 143); *ἀλλοφυὲς gm*; *δισσοφυὲς k*. — 147 *καλέουσι Lf*Ω*; *κλαίουσι Ff*. — 150 *παιδοκόμοι f*gmk*; *παιδοκόμου LΩ*. — *ῥυτῆρες Lf*Ω*; *ῥητῆρες FMfl*. — 152 *κεκυφότι* ss. *LPM*, it. *k* (coll. 15, 5); *πεπηγότι* it. *LPMFfl*; *πεπηλότι* Scaliger, *gm* (Lehrs[1] 287. 292); *γεγηθότι* vel *μεμηλότι* Lobeck[3] 263. — 154 *κουφίζοντα* (ρ ss.) *LP*: cf. 9, 246. — *ἀρτιτόκῳ PMcgmk*; *ἀρτιτόκω L*; *ἀρτιτόκων Ffl*; *ἀρτίτοκος h''* 221.

κρυπτόμενος, δολιχῇ δὲ δέμας πυκνώσατο χαίτῃ
ἀλλοφανής, δολίων δὲ χέων βληχηθμὸν ὀδόντων
ἴχνεσιν αἰγείοισι νόθην μιμήσατο χηλήν·
πῇ δὲ γυναικείην φορέων ψευδήμονα μορφὴν
μιμηλὴ κροκόπεπλος ἐν εἵμασι φαίνετο κούρη
ἀρτιθαλής, φθονερῆς δὲ παραπλάζων νόον Ἥρης
χείλεσιν ἀντιτύποισιν ἀνήρυγε θῆλυν ἰωήν,
καὶ πλοκάμοις εὔοδμον ἐπεσφήκωσε καλύπτρην
θήλεα πέπλα φέρων πολυδαίδαλα· μεσσατίῳ δὲ
στήθεϊ δεσμὸν ἔβαλλε καὶ ὄρθιον ἄντυγα μαζοῦ . . .
παρθενίῳ ζωστῆρι, καὶ οἷά περ ἅμμα κορείης
πορφυρέην λαγόνεσσι συνήρμοσε κυκλάδα μίτρην.
καὶ δόλος ἦν ἀνόνητος, ἐπεὶ μάθεν ὑψόθεν Ἥρη
πάντοθι δινεύουσα πανόψιον ὄμμα προσώπου,
μορφὴν ἀλλοπρόσαλλον ὀπιπεύουσα Λυαίου·
καὶ Βρομίου φυλάκεσσιν ἐχώσατο· δεξαμένη δὲ
Θεσσαλίδος δολόεντα παρ' Ἀχλύος ἄνθεα ποίης
ὕπνον θελγομένων φυλάκων ἐπέχευε καρήνῳ,
μάγγανα φαρμακόεντα καταστaλάουσα κομάων·
καὶ μάγον ἁβρὸν ἄλειφα περιχρίσασα προσώπῳ

156 κρυπτόμενος LΩ; κρυπτομένῳ k ([1] 883). — 157 δολίων LΩ (defend. Tiedke [6] 43); δόλιον gmk. — 159 φορέων LΩ; 'μεθέπων?' k*. — 161 ἀρτιθαλής gmk; ἀρτιφανής LΩ. — παραπαίζων m. — 164 φορῶν Wakefield [2] II 300. — 165 καὶ ὄρθιον Lf*Ω; καὶ ὄρθριον Ff; καὶ ἔσκεπεν Cun.; καὶ ὥπλισεν vel κατ' ὄρθιον g*; καὶ ἄρθροεν Koch [1] 174. — lacunam indicavit k ([1] 411 sq., etiam κατ' ὄρθιον coniciens). — 166 οἷα Ffl. — 168 ἤρη Lf*Ω; ἤρην Ff: cf. 32, 112. — 171 φαλάκεσσιν Ff (cr. f*). — δεξαμένη LΩ (defend. Scheindler [1] 26); δρεψαμένη g*mk. — 172 παρ' LΩ; δι' k. — παρὰ γραὸς Cun. — Ἀχλύος dedi (coll. Hes. scut. 264 πὰρ δ' Ἀχλὺς εἱστήκει); ἀχλύος LΩ; εὐχλόου Lobeck [8] 1046. — ποίης scripsi; $^{\pi\iota}$γαίης sic LP; πῖ γαίης sic M; γαίης FΩ. — 173 post 174 posuit k. — 175 ἁβρὸν f*gm; ἀφρὸν LΩ; ἀφρῶν F; ὑγρὸν k. — περιχρήσασα F. — προσώπῳ (-ω) LΩ; προσώ$^{\pi}$ F; προσώπου flgm.

ἀνδρομέης ἤμειψε παλαίτερον εἶδος ὀπωπῆς·
τοῖσι μὲν οὐατόεσσα φυῆς ἰνδάλλετο μορφή,
ἱππείη δ' ἀνέτελλε δι' ἰξύος ὄρθιος οὐρὴ
ἰσχία μαστίζουσα δασυστέρνοιο φορῆος,
καὶ βοέη βλάστησε κατὰ κροτάφοιο κεραίη,
ὄμματα δ' εὐρύνοντο τανυκραίροιο μετώπου,
καὶ σκολιαὶ πλοκαμῖδες ἀνηέξηντο καρήνων,
γναθμοὶ δ' ἀργιόδοντες ἐμηκύνοντο γενείων,
ξείνη δ' αὐτοτέλεστος ἀπ' ἰξύος εἰς πόδας ἄκρους
ἀμφιλαφὴς λασίοιο κατ' αὐχένος ἔρρεε χαίτη.
δώδεκα δὲ ξύμπαντας ἐκόσμεον ἡγεμονῆες,
Σπαργεύς τε Γληνεύς τε χοροίτυπος, ἀλλοφυὴς δὲ
σύνδρομος Εὐρυβίῳ σταφυληκόμος ἵκετο Κητεύς,
καὶ Ῥιφόνῳ Πετραῖος ὁμάρτεεν, ἀκροπότης δὲ
Αἴσακος Ὀρθάων τε συνέστιχον, οἷς μίαν ἄμφω
Ἀμφίθεμις καὶ Φαῦνος ἐποιήσαντο πορείην,
εὐκεράῳ δὲ Φάνητι συνέμπορος ἦλθε Νομείων.
Κενταύρων δ' ἑτέρη διφυὴς κεκόρυστο γενέθλη,
Κυπριάς, ὁππότε Κύπρις ἐπέτρεχεν εἴκελον αὔραις

---

180 κεραίη *gmk*; κεραιὴ *LΩ*. — 182 πλοκαμίδες *F'fl.* — ἀνηέξηντο *Lf*Ω*; ἀνηέζηντο *PF'Mf*. — 183 γναθμοί *LPFf*. — ἐμηκύνοντο *gmk*; ἐμηκύναντο *LΩ*. — 184 αὐτοτέλεστος *Lf*Ω*; αὐτοτέλευστος *Ff*. — 185 fol. 58ᵛ *L*, 60ᵛ *P*. — 'ad defendend. κατ' αὐχένος cf. 141 s.' *g**, et 4, 363. 23, 214. — 186 δώδεκα] v. Koehler 48. — ξύμπαντας *gmk*; ξύμπαντες *LΩ*. — 187 $\bar{\alpha}$ $\bar{\beta}$ *LPF* im., eadem ratione usque ad ια $\bar{\iota\beta}$ 192 ceteros numerantes. — spondeos continuos suspectos habui [1] 43, defendere conatus est Tiedke [6] 48 Homericis Ναυτεύς τε Πρυμνεύς τε θ 112, Ποντεύς τε Πρῳρεύς τε 113. — γληνεύς *LΩ*; Ληνεύς *g**; Γλάνιος vel Κλονίος La Roche 197. — ἀλλοφυῆ *m**. — 188 κητεύς *LΩ*; Κηπεύς *g*mk*. — 190 τὲ *L*. — 191 Ἀμφιθέϊς *m*; Ἀμφίθεϊς *m**. — φαῦνος *LΩ*; Φροῦρος (coll. 13, 328) *m*. — 192 δὲ *gmk*; τὲ *L*; τε *PΩ*. — Φάρητι *m*. — νομείων *LΩ*; Νομίων Herm. — 193 κενταύρων *LΩ*; κενταύρω *F*; -ρῳ *fl.* — 194 ἐπέτρεχεν *LΩ*; ἀπέτρεχεν *M*, idem ci. *k**. — εἴκελον *gm*; ἴκελον *LPM*; ἶκελον

ἴχνιον ἱμείροντος ἀλυσκάζουσα τοκῆος,
μὴ γενέτην ἀθέμιστον ἐσαθρήσειεν ἀκοίτην,
Ζεὺς δὲ πατὴρ ὑπόειξε γάμων ἄψαυστον ἐάσας
ὠκυτέρην ἀκίχητον ἀναινομένην Ἀφροδίτην·
ἀντὶ δὲ Κυπριδίων λεχέων ἔσπειρεν ἀρούρῃ
παιδογόνων προχέων φιλοτήσιον ὄμβρον ἀρότρων·
γαῖα δὲ δεξαμένη γαμίην Κρονίωνος ἐέρσην
ἀλλοφυῆ κερόεσσαν ἀνηκόντιζε γενέθλην.
  τοῖσι κορυσσομένοισι συνέδραμον εἰν ἑνὶ Βάκχαι,
αἱ μὲν Μῃονίης ἀπὸ ῥωγάδος, αἱ δὲ κολώνης
ἠλιβάτων ἤιξαν ὑπὲρ Σιπύλοιο καρήνων.
Νύμφαι δ' ἑλκεχίτωνες Ὀρειάδες ἄρσενι θυμῷ
λυσσάδες ἐρρώοντο σὺν εὐθύρσοισι μαχηταῖς,
αἵ τε παλιννόστων ἐτέων πολυδινέι νύσσῃ
μηκεδανὸν ζώεσκον ἐπὶ χρόνον, αἱ μὲν ἐρίπναις
γείτονες οἰονόμων ἐπιμηλίδες, αἱ δὲ λιποῦσαι
ἄλσεα δενδρήεντα καὶ ἀγριάδος ῥάχιν ὕλης,
συμφυέες Μελίαι δρυὸς ἥλικος· αἳ τότε πᾶσαι
εἰς μόθον ἠπείγοντο συνήλυδες, αἱ μὲν ἑλοῦσαι
τύμπανα χαλκεόνωτα, Κυβηλίδος ὄργανα Ῥείης,

Ffl; εἴκελος *k*. — 196 γενέτην *Lf*Ω*; γενετὸν *PFMf*. — 197 ἐάσας *gmk*; ἐάσσας *LΩ*. — 200 ἀρότρων scripsi (cf. 25, 315. 18, 228. 21, 256); ἐρώτων (ἀροτρ supra) *LP*; ἐρώτων *FΩ*. — 204 αἳ μ. *gmk*, ut infra. — μὲν *L*. — μηονίης *PFMfl*. — 205 ἤϊξαν *FMfl*. — 206 ὀρειάδες *fΩ*; ὀρειάδος *LPFM*. — 208 νύσσῃ *L* pc., *f*Ω*; λύσσῃ (-η) *L* ac., *PFMf*. — 210 ἐπιμηλίδες *Lf*Ω* (v. Lobeck[6] 451); ἐπιμηλύδες *Ff*; ἐπιμηλάδες Heinsius, *gm*; ἐπιήλυδες anon. Villois. — 212 συμφυέες *FΩ*; συμφυεας, sed ας pc. obscurius scr. *L*, *P*; σύμφυε *M*. — ἥλικος Wakefield[3] 36, Schaefer 382 ('aut hoc aut συμφυέος ... ἥλικες, scribendum' Herm.), *k*; ἥλικες *LΩ*. — 213 εἰς *k*; ἐς *L*. — ἑλοῦσαι, sed οῦ litterae ᾶ similis *L*, Scaliger, Rhodom.; ἐλᾶσαι, sed ε pc. *P*, *FM*; ἐλᾶσαι *fl* (defend. Wakefield l. l.); ἔχουσαι *gmk* (v. tamen Lch[2] 447. [4]278). — 214 τύμπανα *LΩ*; κύμβαλα Volkmann[2] p. XXII ('coll. 10, 388; vide tamen 12, 121'). — Κυβηλίδος] v. Lobeck[6] 500.

αἱ δὲ κατηρεφέες πλοκάμους ἑλικώδεϊ κισσῷ,
ἄλλαι ἐμιτρώθησαν ἐχιδναίοισι κορύμβοις·
χειρὶ δὲ θύρσον ἄειρον ἀκαχμένον, αἷς τότε Λυδαὶ
Μαινάδες ὡμάρτησαν ἀταρβέες εἰς μόθον Ἰνδῶν·
ὧν τότε Βασσαρίδες θιασώδεες ἴδμονι τέχνῃ
κρείσσονες ἠπείγοντο Διωνύσοιο τιθῆναι,
Αἴγλη Καλλιχόρη τε καὶ Εὐπετάλη καὶ Ἰώνη
καὶ Καλύκη γελόωσα Βρύουσά τε, σύννομος Ὥραις,
Σειλήνη τε Ῥόδη τε καὶ Ὠκυνόη καὶ Ἐρευθὼ
Ἀκρήτη τε Μέθη τε, καὶ ἕσπετο σύννομος Ἅρπη
Οἰνάνθη ῥοδόεσσα καὶ ἀργυρόπεζα Λυκάστη,
Στησιχόρη Προθόη τε· φιλομμειδὴς δὲ γεραιὴ
οἰνοβαρὴς Τρυγίη πυμάτη κεκόρυστο καὶ αὐτή.
κεκριμένον μὲν ἕκαστος ἑὸν στρατὸν ἤγαγε Βάκχῳ,
πάντων δ' ἡγεμόνευε πυρίβρομος Εἰραφιώτης
ἀστράπτων ἀρίδηλος· ἐς ὑσμίνην δὲ χορεύων
οὐ σάκος, οὐ δόρυ θοῦρον ἐκούφισεν, οὐ ξίφος ὤμῳ,
οὐ κυνέην ἐπέθηκεν ἀκερσικόμοισιν ἐθείραις,
χάλκεον ἀρραγέος κεφαλῆς σκέπας, ἀλλὰ καρήνου

---

217 ἄειρον f* Ω; ἄειδον LPFMfl. — αἷς Rhodom., g*; αἱ LΩ; αἳ gm; ὧς k. — 218 ὠμάρτησαν F. — εἰς k; ἐς LΩ. — μόθον Lf* Ω (cf. 13, 275); μόχθον F'f. — 219 τότε LΩ; ἔτι k ('nisi fuit μέτα' k*). — 220 κρείσονες F. — 221 ἰώνη LΩ (v. Lobeck[6] 38. Meineke[5] 286); Ἰηνώ Herm. — 222 Βρύουσά] v. Spitzner[1] 101. — σύννομος LΩ; σύνομος M; σύνδρομος g. — Ὥραις k; αὔραις LΩ. — 223 Σειλήνη gmk; εἰλήνη LP; εἰλήνη FMfl; 'poterat et Εὐλήνη scribi' g*. — τὲ ῥ. L. — ὠκυνόη LΩ; Ὠκυρόη m. — ἐρευθῶ F. — 224 Ἀκρήτη gk; ἀκρίστη LΩ; Ἀκρισίη g*. — μέθη LΩ; Θέρη m. — σύνομος PFM; 'σύνδρομος?' k*. — Ἅρπη k; ἅρπη LΩ. — 226 φιλομμειδής (-ὴς) LΩ; φιλομειδής F; φιλομμειδίης M. — δὲ γεραιὴ gmk; τε γεραίη LΩ. — 228] ante h. vs. inseruit 290—294 m. — κεκριμένον Lf* Ω; κεκρυμένον Ffl. — 232 ἀκερσικόμοισιν LΩ (-μισιν F'); ἀκερσεκόμοισιν gmk. — ἐθείραις L (α pc. P) Ω; ἐθείρης F; ἐθείροις M; ἐθείρῃς fl (Koch[1] 191).

ἄπλοκον ἐσφήκωσε δρακοντείῳ τρίχα δεσμῷ,
235 κράασι κυκλώσας βλοσυρὸν στέφος· ἀντὶ δὲ τυκτῆς
δαιδαλέης κνημῖδος ἕως ἐπιγουνίδος ἄκρης
ἄργυφα πορφυρέοις ἐπεθήκατο ταρσὰ κοθόρνοις,
νεβρίδα λαχνήεσσαν ἐπὶ στέρνοιο καθάψας,
239 στικτὸν ἔχων θώρηκα, τύπον κεχαραγμένον ἄστρων·
246 καὶ χρυσέην λαγόνεσσι περίτροχον ἥρμοσε μίτρην.
240 λαιῇ μὲν κέρας εἶχε βεβυσμένον ἡδέος οἴνου,
χρύσεον εὐποίητον, ἀπ' οἰνοχύτου δὲ κεραίης
ὄρθιος οἰνοπότοιο κατέρρεεν ὁλκὸς ἐέρσης·
χειρὶ δὲ κέντορα θύρσον, ἑελμένον οἴνοπι κισσῷ,
δεξιτερῇ κούφιζεν, ἐπ' ἀκροτάτῳ δὲ κορύμβῳ
245 χαλκοβαρὴς πετάλοισι κατάσκιος ἦεν ἀκωκή.
247 ἀλλ' ὅτε δὴ Διόνυσος ἔσω Κορυβαντίδος αὐλῆς
χρύσεον εὐποίητον ἐδύσατο κόσμον Ἐνυοῦς,
εὔδια καλλείψας χοροτερπέος ἔνδια Ῥείης
250 Μηονίην παράμειβεν· ὀρεσσιπόλοις δ' ἅμα Βάκχαις
δαίμονι βοτρυόεντι συνεσσεύοντο μαχηταί·
οἱ μὲν ἐυτροχάλοιο κυβερνητῆρες ἀπήνης
φυταλιῆς κομίσαντο νέης μοσχεύματα Βάκχου·

---

234 θεσμῷ *l*: cf. 9, 260. — 236 δαιδαλέοις *F*. — κνημίδος *Ffl*. — ἕως *LPM*; ἕος *F*; ἑῆς *f*Ω. — ἄκρης *L*Ω; 'ἄχρις?' *k**. — 237 ἄργυφα *Lk* ([1] 396); ἄργυρα *P*Ω. — '246 inter 239 et 240 ponendum fuisse quivis videt' *k**. — χρυσέην *k*; χρυσέαις *L*Ω. — λαγώεσσι *F*; λαγόεσσι *f* (cr. *f**). — μίτρην Scaliger, *gmk*; πέτρην *L*Ω. — 244 κούφιζεν, sed ζ pc. *L*, *gmk*; κούφισσεν *PFM*; κούφισεν *fl*. — 246] v. ad 239. — 247 αὐλῆς *g** (coll. 9, 162) *k*; ὕλης *L*Ω. — 249 καλλείψας *Lf**Ω; καλύψας *Ff*. — χοροτερπέος *f*Ω; χοροτερπέες *LPFM*. — ἔνδια, sed ν obscurius *L*, pc. *P*, Ω; ἔνδεια *F*. — Ῥείης *f*Ω; ῥείην *L* (ν pc. *P*) *FM*. — 250 μηονίην *Lgk*; μηονίην *PM*; μηονείη *F*; Μηονίη *fl*; Μυγδονί(αν *m*) -ην *m**. — ὀρεσσιπόλοις scripsi (cf. 13, 137); ὀρεσσιπύκτοις *L* (κ litterae η similis *P*); ὀρεσσιπύητοις *M* (ὀρεσι- *F*); ὀρεσσιπατοῖς *f*; ὀρεσσιπάτοις *f***l*; ὀρεσσιβάτοις *gmk*. — δᾶμα *M*. — βάχαις *L*. — 251 fol. 69r *L*, 51r *P*. — 252 οἳ *gmk*. — 253 φυταλιῆς *L*Ω; φυταλίης *FMfl*. — νέης *Lf**Ω; νέοις *Ff*.

πολλαὶ δ' ἡμιόνων στίχες ἤιον, ἀμφὶ δὲ νώτῳ
νέκταρος ἀμπελόεντος ἐκούφισαν ἀμφιφορῆας·
καὶ βραδέων ἐπέθηκαν ὄνων τετληότι νώτῳ
ῥήγεα φοινικόεντα καὶ αἰόλα δέρματα νεβρῶν·
ἄλλοι δ' οἰνοποτῆρες ἅμα χρυσέοισι κυπέλλοις
ἀργυρέους κρητῆρας ἀγίνεον, ὅπλα τραπέζης·
καὶ χαροπῆς Κορύβαντες ἐποίπνυον ἀγχόθι φάτνης
αὐχένα πορδαλίων ζυγίῳ δήσαντες ἱμάντι,
κισσοδέτοις δὲ λέοντας ἐπιστώσαντο λεπάδνοις
χεῖλος ἐπισφίγξαντες ἀπειλητῆρι χαλινῷ.
καὶ λασίην Κένταυρος ἔχων φρίσσουσαν ὑπήνην
εἰς ζυγὸν αὐτοκέλευστος ἑκούσιον αὐχένα τείνας . . .
καὶ Σατύρων πολὺ μᾶλλον ἔχων πόθον ἡδέος οἴνου
ἡμιτελὴς χρεμέτιζεν ἀνὴρ κεκερασμένος ἵππῳ,
ἱέμενος Διόνυσον ἑοῖς ὤμοισιν ἀείρειν.
καὶ θεὸς εὐόρπηκος ἐφήμενος ἄντυγι δίφρου
Σαγγαρίου παρὰ χεῦμα, περὶ Φρύγα κόλπον ἀρούρης,
λαϊνέης Νιόβης παρεμέτρεε πενθάδα πέτρην·
καὶ λίθος Ἰνδὸν ὅμιλον ἐριδμαίνοντα Λυαίῳ
δακρυόεις δρόσων βροτέην πάλιν ἴαχε φωνήν·
„μὴ μόθον ἐντύνητε θεημάχον, ἄφρονες Ἰνδοί,
παιδὶ Διός, μὴ Βάκχος ἀπειλείοντας Ἐνυὼ

---

264 πολλαί *Lf*. — 259 ἀγίνεον *fΩ*; ἀγείνεον *LPFM*. — τραπέζοις *F*. — 260 ἐποίπνυον *Lf**Ω*; ἐπίπνοιον *F*; ἐπίπνεον *f*; ἐπίπνυον *l*. — 262 κισσοδέτις *F*. — ἐπιστώσαντο *LΩ*; ἐπιστάσαντες sic *M*; ἐμιτρώσαντο *k*. — 265 αὐτοκέλευστος, sed ευ obscurius *L*, *f**Ω*; αὐτοκέλεστος *PFMf*. — τείνας *LΩ*; τεῖνεν *gm* (v. autem Wernicke 66). — post h. vs. addidi lacunae signa, quam Lobeck[8] I 180 fere ita explendam esse coniecit: χερσὶν ὀπισθοτόνοισιν ἐύτροχον εἷλκεν ἀπήνην. — 267 κεκερασμένος *Lf**Ω*, pc. *F*; κεκερασμένον *F* ac., *f*. — 270 παραχεῦμα *F*. — 'num bis idem, sive περί, quod praetulerim, sive παρά?' *k*. — 272 ἐριδμαίνοντα *f**gmk*; ἐριθμαίνοντα *LΩ*. — 274 ἐντύνητε *Lf**Ω*; ἐντίνητε *F*; ἐντείνητε *f*. — 275 ἀπειλείοντας *fΩ*: ἀπειλέοντας *LPM*; ἀπειλέωντας *F*.

λαϊνέους τελέσειε καὶ ὑμέας, ὥς περ Ἀπόλλων,
μυρομένους τύπον ἶσον ἐμῇ πετρώδεϊ μορφῇ,
μὴ ποταμοῦ παρὰ χεῦμα φερώνυμον Ἰνδὸν Ὀρόντην
γαμβρὸν ἐσαθρήσητε δεδουπότα Δηριαδῆος.
Ῥείη χωομένη δύναται πλέον Ἰοχεαίρης·
Φοίβου φεύγετε Βάκχον ἀδελφεόν· αἰδέομαι γὰρ
Ἰνδῶν κτεινομένων ἀλλότρια δάκρυα λείβειν."
τοῖα λίθον βοόωντα πάλιν σφρηγίσσατο σιγή.
καὶ θεὸς ἀμπελόεις Φρυγίης μετὰ πέζαν ἐρίπνης
Ἀσκανίης ἐπέβαινεν. ὁμηγερέες δὲ πολῖται
πάντες, ὅσοις Ἰόβακχος ἑὴν ὤρεξεν ὀπώρην,
καὶ τελετὰς ἐδέχοντο καὶ ἠσπάζοντο χορείας,
αὐχένα δοχμώσαντες ἀνικήτῳ Διονύσῳ,
εἰρήνης ἐθέλοντες ἀναιμάκτοιο γαλήνην·
Βάκχων τοῖος ἔην κερόεις στρατός, οἷς ἅμα Βάκχαι
εἰς μόθον ὡπλίζοντο.. φιλαγρύπνῳ δὲ Λυαίῳ
πάννυχος ἀστερόεντα πυρίτροχον ὁλκὸν ὑφαίνων
οὐρανὸς ἐβρόντησεν, ἐπεὶ τότε μάρτυρι πυρσῷ
νίκης Ἰνδοφόνοιο τέλος μαντεύσατο Ῥείη.
εἰς ἐνοπὴν δ' ἠῷος ἔβη θεὸς ὕβριν ἐλαύνων
ἀνδρῶν κυανέων, ἵνα δούλιον αὐχένα Λυδῶν
καὶ Φρυγίης ναετῆρα καὶ Ἀσκανίης πολιήτην

---

276 λαϊνεοὺς *PFfl*; λαινεοὺς *M*. — τελέσειεν καὶ ἡμέας *F*. — 277 μυρομένους *LPf*Ω*; μυρομίους *FMf*. — ἐμὴ *F*. — 283 τοία *F*. — λίθον *LΩ* (Scaliger); λίθων *Ff*; λίθος *f*l*. — σφρηγίσσατο Scaliger, *gmk*; σφρηγίσατο *LF*; σφηγίσατο *PM*; σφριγήσσατο *fl*. — σιγή Scaliger, *gmk*; σιγῆ *LF*; σιγῇ *PMfl*. — 284 Φρυγίης *g(m)k*; φρυγίην *Lm*Ω*. — 285 πολίται *Ffl*. — 290] v. ad 228. — 291 ὠπλίζοντο *F*. — φιλαγρύπνῳ *L* pc., *Ω* (-ω *P*); φυλαγρύπνῳ *L* ac., -ω *F*; φιλὰ γρύπνω *M*. — 292 πυρίτροχον *LΩ*; 'περίτροχον?' *g**. — 293 πυρσῷ *g* (² 50) *mk*; ταρσῶ *LF*; -σῷ *PΩ*; πταρμῷ Cun. (coll. 13, 82). — 295 ἐνοπήν *L*. — δ' ἠῷος *LP*; δηῶος *Fl*; δηῶνος *M*; δηώος *f*; δ' ἠῶος *f**. — 297 ναετῆρα *Lf*Ω*; νεοτῆρα *Ff*.

κοιρανίης δασπλῆτος ἀποζεύξειε λεπάδνων.
τοῖς τότε Βάκχος ἔπεμπε δύω κήρυκας Ἐνυοῦς
ἀγγελίην ἐνέπειν, ἢ φευγέμεν ἢ πολεμίζειν·
καί σφισι νισσομένοισι συνέστιχεν αἰγίβοτος Πάν,
στῆθος ὅλον σκιόωντα φέρων πώγωνα κομήτην.
Ἥρη δ' ὠκυπέδιλος, ἐειδομένη δέμας Ἰνδῷ,
οὐλοκόμῳ Μελανῆι μὴ οἴνοπα θύρσον ἀείρειν
Ἀστράεντα κέλευε, δορυσσόον ὄρχαμον ἀνδρῶν,
μηδὲ φιλακρήτων Σατύρων ἀλάλαγμα γεραίρειν,
ἀλλὰ μάχην ἄσπονδον ἀναστῆσαι Διονύσῳ·
καί τινα μῦθον ἔειπε παραιφαμένη πρόμον Ἰνδῶν·
„ἡδὺς ὁ δειμαίνων ἀπαλὴν στίχα θηλυτεράων.
Ἀστράεις, πολέμιζε· κορύσσεο καὶ σύ, Κελαινεῦ,
χαλκὸν ἔχων τμητῆρα κορυμβοφόρου Διονύσου·
ἔγχεϊ δ' οὐ πέλε θύρσος ὁμοίιος. ἀλλά, Κελαινεῦ,
Δηριάδην πεφύλαξο μεμηνότα, μή σε δαμάσσῃ
οὐτιδανὴν ἀσίδηρον ἀλυσκάζοντα γυναῖκα.“
ὣς φαμένη παρέπεισε, καὶ ἠέρα δύσατο δαίμων,
μητρυιὴ κοτέουσα μενεπτολέμῳ Διονύσῳ.

300 φευγέμεν] v. Lobeck[7] 166. — 301 σφισι νισομένοισι L; σφισι νιωμένοισι PM; σφοισι νιωμένοισι F; σφισι νικομένοισι f; σφισιν ἱκομένοισι f*l; σφισι νεισσομένοισι gmk. — αἰγίβοτος F. — 302 σκιόωντα gmk; σκιόεντα LΩ. — πώγονα F. — κομήτην LΩ; κωμῆ F; κομήτου fl. — 303 ὠκυπέδιλος Lf*Ω; ὀκυπέδηλος F; ὠκυπέδηλος f: cf. 9, 139. — Ἰνδῷ Scaliger, gmk; ἰνδῶ LP; ἰνδῶν FMfl. — 304 οὐλοκόμῳ Μελανῆι Scaliger, gmk; οὐλοκόμω μελανῆι LPM; οὐλοκῶμον μελανίη F; οὐλοκόμων μελανίη f; οὐλοκόμων μελάνων f*l. — οἴνο πύρσον sic M. — 305 ἀστράεντα LΩ; Ἀστρήεντα hic et alibi g*. — δορυσόων F. — ἀνδρῶν LΩ; Ἰνδῶν g*k. — 306 om. it., add. im. M. — μὴ δὲ LPFM fl. — φιλακρήτων LPM (Rhodom., Unger) mk; φιλακτήρων F; φυλακτήρων flg. — σατήρων F. — 309 στίχα, sed στ pc. L. — 310 πολέμιζε gmk; πτολέμιζε LΩ. — 311 διονύσσου Ff. — 313 πεφύλαξο LΩ (Rhodom.); πεφύλαξον F; πεφύλαξε f. — μή σε gm. — δαμάσσῃ L; ‘κολάσσῃ?’ k*. — 315 δαίμων Lf*Ω; μαίδων FM; μαιδῶν f. — 316 μενεπτολέμου Διονύσου k.

καὶ Βρομίου κήρυκες ἀπήλυθον· ἀγχιφανὴς δὲ
Ἀστράεις ὑπέροπλος, ἔχων ἄστοργον ἀπειλήν,
μαίνετο βουκεράους Σατύρους καὶ Πᾶνα διώκων,
μειλιχίου κήρυκας ἀτιμάζων Διονύσου.
οἱ δὲ παλιννόστοιο ποδὸς δειδήμονι ταρσῷ
φύξιον ἴχνος ἔκαμψαν ἐγερσιμόθῳ Διονύσῳ.
καὶ στρατὸν ὥπλισε Βάκχος ἐς ἀντιπόρων στίχας Ἰνδῶν.
οὐδὲ λάθε ζοφόεντα Κελαινέα θῆλυς Ἐνυώ,
ἀλλὰ θορὼν ἀκίχητος ὅλον στρατὸν ὥπλισεν Ἰνδῶν·
καὶ θρασὺς Ἀστράεις, μενεδήιον οἶστρον ἀέξων,
Ἀστακίδος κελάδοντα περὶ ῥόον ἵστατο λίμνης,
δέγμενος ἀμπελόεντος ἐπηλυσίην Διονύσου.
ἀλλ' ὅτε δὴ διδύμης στρατιῆς ἑτερόζυγι λαῷ
ἀμφοτέρων στίχα πᾶσαν ἐκόσμεον ἡγεμονῆες,
κλαγγῇ μὲν ζοφόεντες ἐπὶ κλόνον ᾔιον Ἰνδοί,
Θρηικίοις γεράνοισιν ἐοικότες, εὖτε φυγοῦσαι
χειμερίην μάστιγα καὶ ἠερίου χύσιν ὄμβρου
Πυγμαίων ἀγεληδὸν ἐπαΐσσουσι καρήνοις
Τηθύος ἀμφὶ ῥέεθρα, καὶ ὀξυόεντι γενείῳ
οὐτιδανῆς ὀλέκουσι λιποσθενὲς αἷμα γενέθλης,

317 fol. 59r *L*, 51v *P*. — βρομένου *M*. — ἀπήλυθον *LΩ*; ἐπήλυθον *k*. — ἀγχιφανῆς *F*. — 319 πάνα *Ffl*. — 321 οἳ *gmk*. — ποδὸς Scaliger, Rhodom., *gmk*; διὸς *LΩ*. — δειδήμονι *LΩ*; διδυμάονι Scaliger. — 322 φύξιον *LΩ* (Lobeck[6] 420); φύξιμον *k*. — 323 ὥπλιζε *m*. — 324 οὐδὲ λάθε scripsi ([1] 21); οὐδ' ἔλαθε *LΩ*. — 325 θορῶν *Ffl*. — 327 κελάδοντα *Lf*Ω*; κελέδοντα *FMf*. — περὶ ῥόον Hom. Θ 25 (v. Wernicke 225). — 329 δὴ *f** (Rhodom.) *Ω*; om. *LPFMfl*; ταῖς *f**. — διδύμης στρατιῆς *LΩ*; διδύμοις στρατιῆς *F*; διδύμοις στρατιῆς *fl*; διδύμου στρατιῆς *g*. — 331 ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό, κτέ. Hom. Γ 3 sqq. affert *f** (Wernicke 316). — 332 θρηικίοις *Lf*Ω*; θρηικείοις *F*; θρηικέοις *f*. — ἐ δικότες *F*; ἐ ὀρκότες *M*; ἐοικότες *f*. — 333 ἠερίου *k* (cf. 7, 33. 10, 296); αἰθερίην *LΩ*. — 334 πυγμαίων *Lf*Ω*; πηγμαίων *Ff*. — 335 ὀξυόεντι] v. Lobeck[8] I 81. — 336 οὐτιδανῆς Rhodom., *gmk*; οὐτιδανοῖς *LΩ*; ὀτιδανοῦ *F*; οὐτιδανοῦ *fl* (cf. autem Wernicke 485). — ὀλέκουσιν *F*.

ἱπτάμεναι νεφεληδὸν ὑπὲρ κέρας Ὠκεανοῖο·
εἰς ἐνοπὴν δ' ἑτέρωθεν ἐβακχεύοντο μαχηταί,
ἀκλινέες θεράποντες ἐγερσιμόθου Διονύσου·
Βασσαρίδων δὲ φάλαγγες ἐπέρρεον· ἀγρομένων δὲ
ἡ μὲν ἐχιδναίῳ κεφαλὴν ἐζώσατο δεσμῷ,
ἡ δὲ διεσφήκωσε κόμην εὐώδεϊ κισσῷ,
ἄλλη χαλκοφόρῳ παλάμην ἐκορύσσετο θύρσῳ
οἰστρομανής, ἑτέρη δὲ κατ' αὐχένος ἄμμορα δεσμῶν
μηκεδανῆς μεθέηκε καθειμένα βόστρυχα χαίτης,
Μαιναλὶς ἀκρήδεμνος, ἐπ' ἀμφοτέρων δέ οἱ ὤμων
ἀπλεκέας πλοκαμῖδας ἀνερρίπιζεν ἀήτης·
ἄλλη ῥόπτρα τίνασσε συνήορα δίζυγι χαλκῷ
πλοχμοὺς εἱλικόεντας ἐπαιθύσσουσα καρήνῳ·
ἄλλη δ' ἐν παλάμῃσι, κατάσχετος ἅλματι λύσσης,
352 ὄρθιον ἐσμαράγησε μόθων ἀντίκτυπον ἠχώ,
351 χερσὶ περικροτέουσα βαρύβρομα νῶτα βοείης·
353 καὶ πέλεν ἔγχεα θύρσα, καλυπτομένη δὲ πετήλοις
δούρατος ἀμπελόεντος ἔην χαλκήλατος αἰχμή·
ἡ δὲ δαφοινήεντος ἐφιμείρουσα κυδοιμοῦ
ὠμοβόρων ἔζευξεν ἐπ' αὐχένι δεσμὰ δρακόντων·
ἄλλη ποικιλόνωτον ἐπὶ στέρνοιο καλύπτρην

---

338 ἐνοπήν *L*. — 341 ἦ *gmk*; item infra. — 342 διεσφήκωσε *k*; διεσφήκωτο *LΩ* (-κοτο *F*). — 343 om. it., add. im. *M*. — χαλκοφόρω *L*; χαρκοφόρω *F* ac.; 'χαλκοτόρῳ?' *k**. — ἐκορύσσετο *gmk*; ἐκορύσσατο *LΩ* (-ρύσατο *F*). — θυρσῶ *M*; θυρσῷ *fl*. — 344 οἰστρομανῆς *F*. — δεσμῶν *lgmk*; δεσμων *f*; δεσ̈̃ *F*; δεσμῶ *PM*. — 345 μηκεδανὴς *PMfl*. — μεθέεικε *F*. — καθειμένα *LΩ* (-μενα *P*); καθήμενα *Ffl*; καθείμενας *M*. — 346 Μαινολὶς *m*; Μαίνολις *m**. — δὲ *FMf*. — 347 πλοκαμίδας *Ffl*. — ἀήτης *LΩ* (cf. 24, 68); ἀΐτης *Ffl*. — 349 εἰλικόεντας *FMf*. — καρήνῳ *k*; καρήνω *LPM*; καρήνων *FΩ*. — 351 'fortasse hic versus olim post 352 legebatur' *g**; 'sine dubio, nisi statuas ἐν παλάμῃσι corruptum esse, quod parum credibile' *k**, qui transposuit ut *m*. — 355 οἱ δὲ *F*. — 356 ὠμοβόρων *Ff*. — αὐχενὶ *Ff*.

παρδαλίων, ἑτέρη δὲ κατὰ χροὸς οἷα χιτῶνα
στικτὰ φιλοσκοπέλων ἐνεδύσατο δέρματα νεβρῶν,
δαιδαλέης ἐλάφοιο περισφίγξασα καλύπτρην·
ἄλλη σκύμνον ἔχουσα δασυστέρνοιο λεαίνης
ἀνδρομέῳ γλαγόεντι νόθῳ πιστώσατο μαζῷ·
καί τις ὄφιν τριέλικτον ἀπήμονι δήσατο κόλπῳ
ἐνδόμυχον ζωστῆρα, κεχηνότα γείτονι μηρῷ,
μείλιχα συρίζοντα, φιλακρήτοιό τε κούρης
ὑπναλέης ἄγρυπνον ὀπιπευτῆρα κορείης·
ἄλλη ταρσὰ φέρουσα κατ' οὔρεα γυμνὰ πεδίλων,
ποσσὶ βάτους πατέουσα καὶ ὀξυέθειρας ἀκάνθας,
θηγαλέῃ στατὸν ἴχνος ἐπεστήριξεν ἀχέρδῳ·
καί τις ἐπαΐξασα τανυκνήμιδι καμήλῳ
καμπύλον ἀμητῆρι διέθρισεν αὐχένα θύρσῳ,
καὶ τυφλοῖσι πόδεσσι περιπταίουσα κελεύθῳ
ἡμιφανὴς πεφόρητο, πολυγνάμπτῳ δὲ πορείῃ
φοιταλέης ἀκάρηνον ἐπείγετο σῶμα καμήλου,
καὶ σφαλερῇ πλήσσουσα βαθυνομένην χθόνα χηλῇ

360] ante h. vs. aliquid excidisse ci. Herm.[2] ad 115. — καλύπτρην *g** (propter 358, cf. 380) *mk*; χιτῶνα *LΩ*. — 362 γλαγόεντι *Lf**Ω*; λαγόεντι *Ff*. — νοθῷ *fl*; νόθον *m**. — 364 κεχηνότα *LΩ*; κεχηνότα *P*; κεχεινότα *F*. — 'usus eius postulabat κεχηνότι γείτονα μηρῷ' *g'* (v. autem *k**). — 365 φιλακρήτοιό *L* pc., *f**Ω* (Rhodom.); φιλακτήτοιό *L* ac., *PM*; φιλακτήστοιό *Ffl*. — κούρης *Lf**Ω* (Rhodom.); κάρου *PFMfl*. — 368 βατοὺς *PFMfl*. — ὀξυέθειρας] cf. 22, 25 et Lobeck[4] 210 (errat d' Orville 680). — 369 ἀχέρδῳ *f**Ω*; ἀχέρδω *LP*; ἐχέρδω *FM*; -ῳ *f*. — 370 καίτης *M*. — ἐπαΐξασα Cun., *k* (Rigler[3] 14); 'quod verum, nisi post participium subest lacuna' *k**; ἐφαρπάξασα *LΩ*; ἐφερπύζουσα *gm* (Koch[1] 180); ἐφορμήσασα *g**. — καμήλῳ *Lf**Ω*; καμή^λ'^η *F*; καμίλη *f*; καμίλῳ *l*. — 372 τυφλοῖσιν δὲ πόδεσσι Volkmann[1] 11. — τυφλοῖσι] v. Lobeck[7] 345. — 373 ἡμιφανὴς, sed φ pc. *L*, *PΩ* (-νῆς *F*); ἡμιθανὴς Rigler l. l. — πολιγνάμπτω *F*. — 374 ἀκάρηνον *LΩ*; ἀχάλινον *m*. — καμήλου *Lf**Ω*; καμίλης *Ff*; καμίλου *l*. — 375 σφαλερῇ *F*; φαλερῇ *f* (cr. *f**). — πλήσσουσα *Lf**Ω*; πλήσουσα *Ffl*.

ὕπτιος αὐτοκύλιστος ἐπωλίσθησε κονίῃ·
ἄλλη δ' ἴχνος ἄγουσα βοοτρόφον εἰς ῥάχιν ὕλης
ἄσχετα μαινομένοιο δορῆς ἐδράξατο ταύρου,
καὶ βλοσυροῖς ὀνύχεσσι χαρασσομένης ἀπὸ δειρῆς
ταυρείην ἀτόρητον ἀπεφλοίωσε καλύπτρην·
ἄλλη δ' ἔγκατα πάντα διήφυσεν· ἣν δὲ νοῆσαι
παρθένον ἀκρήδεμνον ἀσάμβαλον ὑψόθι πέτρης
τρηχαλέῳ πρηῶνι περισκαίρουσαν ἐρίπνης·
οὐ σκοπιὴν δ' ἔφριξε δυσέμβατον, οὐ πόδα κούρης
ὀξυπαγὴς ἀπέδιλον ὄνυξ ἐχάραξε κολώνης.
πολλὴ δ' ἔνθα καὶ ἔνθα παρ' Ἀστακίδος στόμα λίμνης
Ἰνδῴη δεδάικτο γονὴ Κουρῆτι σιδήρῳ.
δυσμενέων δὲ φάλαγγας ἐκυκλώσαντο μαχηταὶ
τεύχεσιν ἀντιτύποισι, φερεσσακέος δὲ χορείης
ῥυθμὸν ἐμιμήσαντο ποδῶν ἑλικώδεϊ παλμῷ·
καὶ λασίῃ παλάμῃ σκοπιὴν λοφόεσσαν ἀείρων,
οὔρεος ἄκρα κάρηνα ταμών, ἐκορύσσετο Ληνεύς,
πέμπων ὀκριόεσσαν ἐπ' ἀντιβίοισιν ἀκωκήν·

---

377 βοοτρόφον *gmk*; βοότροχον *LΩ*. — 380 ἀπεφλοίωσε *f*Ω*; ἀπεφλοίησε *LPM*; ἀπεφλίησε *Ff*. — 381 διήφησεν *F*; διήφισεν *f* (cr. *f**). — 382 πέτρης *Lf*Ω*; πέ^τρ' *F*; πέτρην *f*. — 383 fol. 60[r] *L*, 52[r] *P*. — 384 σκοπιήν *L*; σκοπίην *FMfl*. — 'δ' fortasse delendum' *k**. — κούρης *LΩ*; κου^ρ' *F*; κούρη *fl*. — 385 ὀξυπαγῖς *F*. — ὄνυξ] v. Lobeck[a] I 140. — 386 incipit fol. 1[r] *Π*. — πολλή *Lf*. — .αστακιδος *Π*; ἀστακίδος *F*. — 387 ινδωη *Π*; ἰνδώη *FMfl*. — γονῆ *F*. — κουρῆτι (*Π*)*LPM* (ut 29, 222; v. Lch[1] 42); κουρήτι *Fk*; κούρητι *fl*; Κούρητι *gm* (defend. *g**). — 388 ἀπαυγάζοιντο φάλαγγας δυσμενέων Callimach. h. Del. 182. — 389 ἀντιτύποισι *LΩ*; αντι[τυ]ποισι· *Π*; 'ἀντιβίοισι?' *k** (sed v. 29, 219 et Lch[1] 39). — 390 παλμῷ *g*mk* (ut 29, 220); ταρσωι *Π*; ταρσῷ (-ῶ) *LΩ*. — 391 λασιη παλαμηι *Π*. — αειρω *Π*. — 392 εκορ[υσσ]ετ[ο . . . .]. . ληνευς· *Π* pc.; ἐκορύσσετο Ληνεύς *gmk*; ἐκορύσσατο ληνεύς *LΩ*. — 393 οκριοεσσαν *Π*; ὀκριόεσσαν *gmk*: ὀκρυόεσσαν *LΩ*. — ἐπ' ἀντιβίοισιν ἀκωκὴν *LΩ* (ut 29, 230); επα[ντι]β[ιοισιν ακ]ωκην (κορωνην del.) ακωκην *Π*; ἐπ' ἀντι-

Βάκχη δ' ἀμφαλάλαξε, καὶ ἀμπελόεσσαν ἀκωκὴν
Βασσαρὶς ἠκόντιζε, μελαρρίνου δὲ γενέθλης
ἄρσενα πολλὰ κάρηνα δαΐζετο θήλεϊ θύρσῳ.
καὶ φονίῳ θρασὺν ἄνδρα διατμήγουσα κορύμβῳ
Εὐπετάλη κεκόρυστο, φιλοσταφύλῳ δὲ πετήλῳ
κέντορα κισσὸν ἔπεμπεν ἀλοιητῆρα σιδήρου·
Στησιχόρη δ' εὔβοτρυς ἐπεσκίρτησε κυδοιμῷ,
καὶ δηίων ἔσσευε γένος ῥηξήνορι ῥόμβῳ
κύμβαλα δινεύουσα βαρύβρομα δίζυγι χαλκῷ.
καὶ πολὺς ἀμφοτέροισιν ἔην μόθος· ἔβρεμε σύριγξ,
σύριγξ ἐγρεκύδοιμος, ἐπέκτυπε δ' αὐλὸς Ἐννοῦς,
Βασσαρίδες δ' ὀλόλυξαν· ἐγειρομένου δὲ κυδοιμοῦ
βρονταίοις πατάγοισι μέλας μυκώμενος ἀὴρ
ἐκ Διὸς ἐσσομένην Βρομίῳ μαντεύσατο νίκην.
καὶ πολὺς ἑσμὸς ἔπιπτεν· ὅλη δ' ἐρυθαίνετο λύθρῳ
ὑγρῷ διψὰς ἄρουρα, καὶ Ἀστακίδος στόμα λίμνης

βίοισι κολώνην g^*k (Wilamowitz); etiam de ἐρίπνην cogitat k^*, quod sequentem versum olim terminasse putaverim. — 394 δ' αμφαλαλαζε *Π*. — ἀκωκὴν (ἀκομὴν *F*) spurium iudico ([1] 43). — 395 μελαρρ[ινου *Π*. — 396 δαΐζε[το *Π*. — θ]υρ[σ]ωι *Π*. — 397 φονιωι *Π*. — διατμήγουσα $Lf^*Ω$; διατμηγο[υσ]α *Π*; διαμίγουσα *Ff*. — κορύμβῳ *LΩ*; κορυμβου *Π*. — 398 φιλοσταφύλῳ g^* (ut 29, 234); φιλοσταφυλω *Π*; πολυσταφύλῳ (-ω) *LΩ*. — πετηλωι *Π*. — 399 επε[μ]πεν *Π*. — 400 στησιχόρη δ' *LΩ*; στησιχορη δ' *Π*; στησιχόρης δ' *PFMfl*. — κυδοιμωι *Π*; κιδημῷ *F*. — 401 δηίων *gmk*; δηϊων *Π*; δηΐων *LΩ*. — ἔσσευε *LΩ*; εσσε[υε *Π*; 'suspectum' k^*. — 402 χαλκωι *Π*. — 403 μοθος· *Π*. — 404 σύριξ *F*. — ἐγρεκύδοιμος $Lf^*Ω$; εγρεκυδ[οιμο]ς *Π*; ἐγρεκῦβϊμος *PFM*. — ἐπέκτυπεν *F*. — δ' [αυλ]ος *Π*; δ' αὐλοῖ *M*; δαυλὸς *Ff* (cr. f^*). — ἐννοῦς *LΩ* (ἐνῦ sic *M*); αθ.[. . . .]ς *Π*, sed αθ del. (εννους ex αθηνης cr.?). — 405 δ[ολολυ]ξαν *Π*; δ'ὀλόλιξαν *Ff* (cr. f^*). — 406 πατ[αγοισι *Π*. — ἀὴρ *LΩ* (Scaliger); ἀνὴρ *FMfl*; Αἰθὴρ Northmor (v. Wernicke 72, prob. Koechly[2] 118). — 407 εσσομ[ενην *Π*; ἐσσομένην, sed ἐσσο pc. obscurius scr. L^1 it., clarius L^3 im. — 408 εσμ[ος (σ supra) *Π*? — ἐρυθραίνετο λύθρῳ anon. Villois. — λύθρῳ (-ω) *LΩ*; λίθρω *F*; λίθρῳ *fl*. — 409 ὑγρω *Π*. — ἄρουρα *LΩ* (cf. 32, 238); ἄστουρα *PFMf*.

αἱμοβαφὲς κελάρυζε, φόνῳ κεκερασμένον Ἰνδῶν.
ἀντιβίους δ' ᾤκτειρε θεὸς φιλοπαίγμονι θυμῷ
καὶ προχοαῖς κατέχευε μέθης γέρας, ἐκ δὲ ῥοάων
χιονέην ἤμειψε φυὴν ξανθόχροον ὕδωρ,
καὶ ποταμὸς κελάρυζε μελίρρυτα χεύματα σύρων,
καὶ προχοὰς ἐμέθυσσεν· ἀμειβομένων δὲ ῥοάων
ἔπνεον ἀρτιχύτοιο μέθης εὐώδεες αὖραι·
ὄχθαι ἐφοινίσσοντο· πιὼν δέ τις Ἰνδὸς ἀγήνωρ
τοίην ἐκ στομάτων πολυθαμβέα ῥήξατο φωνήν·
„ξεῖνον ἴδον καὶ ἄπιστον ἐγὼ ποτόν, οὐ γλάγος αἰγῶν
ἄργυφον οὐ πέλε τοῦτο, καὶ οὐ μέλαν οἷά περ ὕδωρ,
οὐδέ μιν οἷον ὄπωπα πολυτρήτοις ἐνὶ σίμβλοις
βομβήεσσα μέλισσα λοχεύεται ἠδέι κηρῷ·
ἀλλὰ νόον τέρπουσαν ἔχει καλλίπνοον ὀδμήν.
ἀνὴρ διψαλέος πολυθαλπέι καύματος ἀτμῷ
βαιὸν ἑαῖς παλάμῃσιν ἀφυσσάμενος χυτὸν ὕδωρ
λαίλαπα καρχαλέης ἀποσείεται αὐτίκα δίψης·
καὶ μέλι μᾶλλον ἔχει ταχινὸν κόρον· ὢ μέγα θαῦμα,
τοῦτο πιὼν ἐθέλω πιέειν πάλιν· ἀμφότερον γὰρ
καὶ γλυκερὸν τόδε χεῦμα καὶ οὐ κόρον ἀνδράσι τίκτει.
Ἥβη, κάλπιν ἄειρε καὶ ἔρχεο δεῦρο λαβοῦσα
Τρώιον οἰνοχόον, ζαθέων δρηστῆρα κυπέλλων,

---

410 αιμοβαφε[ς Π; αἱμοφαφὲς L ac.; αἱμοβαφαῖς F. — 411 αντιβι[ους Π pc. (.αιδε ac.?). — ὤκτειρε PF/l; ᾤκτειρε M. — 412 κα]ι προχοαις [... Π. — ἐκ δὲ ῥοάων LPFMf*l; ἐν δὲ ῥοάων fgm; ἐν δὲ ῥεέθροις k. — 413 χιο[ν]εην ημ[ειψε Π: cf. met. B 36. — 414 ποταμος [... Π. — 415 προχοας [... Π; προχοᾶς Ffl. — ἐμέθυσεν M. — 416 αρτι|χυτοιο Π. — 417 εφοι[νισσοντο Π. — πιὼν LΩ (Rhodom.); πιῶν Ffl. — 418 τοι[ην Π. — 419 > ξε[ινον Π: cf. 36, 264. — ἄπυστον Moser[3] 706 ex Hom. α 242. — οὐ γλάγος αἰγῶν sine interpunctione antecedente LΩg; ὡς γλάγος αἰγῶν item k. — 420 οἷα M. — 421 ἐνὶ F. — σύμβλοις F/l. — 426 καρχαλέης fΩ; καρχαλέην LPFM. — ἀποσῖεται F.

ὄφρα μελιρραθάμιγγος ἀφυσσάμενος ποταμοῖο
Ζηνὸς ὅλους κρητῆρας ἀναπλήσῃ Γανυμήδης.
δεῦτε, φίλοι, γεύσασθε μελισταγέος ποταμοῖο.
ἐνθάδε παπταίνω τύπον αἰθέρος· αὐτόχυτον γὰρ
κεῖνο, τό περ καλέουσι Διὸς πόμα, νέκταρ 'Ολύμπου
Νηιάδες χθονίοισιν ἀναβλύζουσι ῥεέθροις."

---

432 *ἀφυσσάμενος* gmk; *ἀρυσσάμενος* LΩ (*ἀρυσά-* F ac.). — 434 fol. 1^{v} Π. — *γευσασθε* Π; *γεύσασθαι* P ac., F. — 435 *παπταίνω* Lf*Ω; *παπταινω'* Π; *παπτανω* M; *παπταίνων* Ff. — *αιθερος* Π. — 436 *δειος* ex *δειο* cr. Π. — 437 *νηϊαδες* Π. — *ρεεθροις* Π; *κυπέλλοις* LΩ (cf. 431). — sequitur subscriptio ⟩ *τελος του ιδ ποιηματος τῶν* ⟨|⟩ [*διονυσια*]*κων* [*νο*]*ννου* ⟨|⟩ *πο*[*ιητου πα*]*νοπολιτου* ⟩ — | *υλς* Π; numerus 436 versuum discrepat a vulgata lectione.